δάλου λυθῆναι κατὰ θεὸν καὶ τὰ καθ' ἡμᾶς ὡς αὐτῷ φίλον διαδειχθῆναι· οὗ ἡ χάρις εἴη μετὰ τῆς ἀγάπης σου.

## 7.

### *Τοῦ αὐτοῦ ἐπιστολὴ*

### *Εἰς τοὺς Θεσσαλονικεῖς ἀπὸ τῆς Κωνσταντινουπόλεως.*

Οἱ ἐν τῇ θεοσώστῳ καὶ περιφανεῖ πόλει Θεσσαλονίκῃ εὐγενέστατοι ἄρχοντες, ὅσοι τοῦ πρώτου γένους καὶ τῆς ἐνδόξου καὶ λαμπροτάτης φυλῆς καὶ ὅσοι τοῦ ἱερατικοῦ καὶ μοναχικοῦ καταλόγου καὶ ὅσοι τῆς σεμνῆς καὶ περιδόξου πολιτείας καὶ ὅσοι τοῦ ἰδιωτικοῦ συστήματος καὶ ὁ λοιπὸς ἅπας τοῦ Κυρίου λαὸς ὁ χριστώνυμος, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάριν, εἰρήνην, ἔλεος καὶ ἄλλο πᾶν ἀγαθὸν ὁμοῦ καὶ σωτήριον ἐπεύχεται ὑμῖν ἅπασιν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος.

Προέγραψα τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτι μετὰ μικρὸν ἐπανελεύσομαι, θεοῦ βουλομένου· ὃ καὶ γενέσθαι ἔμελλεν, εἰ μή τις ἡμᾶς ἀρτίως ἐκώλυσεν αἰτία, μὴ δυνατῶς ἔχουσα παροφθῆναι. Ἀλλ' εἰ καὶ μὴ κατὰ τὸ παρὸν τοῦτο δὴ τὸ ἐπανελθεῖν ἐγένετο, ἀλλ' ἔσται μετ' ὀλίγον θεοῦ συνεργοῦντος. Ἡμεῖς οὖν εἰ καὶ μὴ παρόντες τῶν συμβαινόντων ὑμῖν ἐκ τοῦ πολέμου κοινωνοῦμεν ἀνιαρῶν, ἀλλ' οὐδὲν ἧττον ἀλγοῦμεν καὶ τὴν ψυχὴν καὶ τὰ σπλάγχνα δακνόμεθα ἑκάστου τὴν παρ' ὑμῶν πικρίαν ἰδίαν ἡγούμενοι καὶ οὕτω πάσχοντες τῇ μνήμῃ τῶν συμπιπτόντων ὑμῖν καθ' ἑκάστην ἀηδῶν, ὥσπερ εἰ καθ' ἡμῶν αὐτῶν τὰ τῶν πολεμίων ἐδεχόμεθα βέλη. Εἰ γὰρ ἐπὶ τῶν σαρκικῶν πατέρων εὕροι τις ἂν οὐκ ὀλίγους αἱρουμένους τὰς προκειμένας τοῖς παισὶ βασάνους προθύμως ἐφ' ἑαυτῶν ἀναδέχεσθαι, ἵνα τοῖς τέκνοις πολλαχόθεν τὸ

3. *τῇ* ΒΟ : *τη* Α 5. *καταλόγου* ΒΟ : *κατὰ λόγον* Α 6. *πολιτείας* Β : *πολιτείας* κατὰ διόρθωσιν γραμμάτων τινῶν ἀδιαγνώστων Ο : *πολιτείας* ἐκ τοῦ *πολητείας* Α 7. *ἅπας* Β : *ἄπας* ΟΑ 11 (καὶ κατωτέρω). *μεταμικρὸν* ΒΟΑ 14. *μετ' ὀλίγον* ΒΟ : *μετολίγον* Α 16. *ἀνιαρῶν* ΒΑ : *ἀνιάρῶν* Ο *ἧττον* ΒΟ : *ἥττον* *ἧττον* Α 17. *σπλάγχνα* ΒΟ : *σπλάγχνα* ἐκ τοῦ *σπάγχνα* Α *ἑκάστου* ΒΑ : *ἐκάστου* Ο 19 (καὶ κατωτέρω). *καθεκάστην* ΒΟΑ *ἀηδῶν* Β : *ἀνδρῶν* ΟΑ 21. *τις* Ο : *τίς* ΒΑ *οὐκ ὀλίγους* ΒΑ : *οὐκολίγους* Ο

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ο ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ.Π.Π. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἄπονον πραγματεύσωνται, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν, τῶν θείᾳ δυνάμει καὶ χάριτι τοῖς ὑπ᾽ αὐτοὺς ἡνωμένων παισίν, ὧν πολλοὺς ἔχομεν ὁρᾶν ἡδέως καὶ αὐτὴν προϊεμένους τὴν ψυχὴν ὑπὲρ τῶν οἰκείων παίδων. Ὅσῳ γὰρ σαρκὸς καὶ θείου πνεύματος τὸ διάφορον, τοσοῦτον οἱ κατὰ πνεῦμα πατέρες τῶν ἐκ σαρκὸς θερμότεροι πρὸς τὴν εἰς τοὺς παῖδας διάθεσιν. Εἰ δέ τις διὰ τὴν ἡμετέραν ἀναχώρησιν μὴ τοῦτο δώσει καὶ ἐφ᾽ ἡμῶν, ἐγὼ μὲν ἀντιλέγειν οὐ βούλομαι, ὁ δὲ τὰ πάντα εἰδὼς θεός, αὐτὸς οἶδε καὶ περὶ ἡμῶν, ὅτι καὶ ἀποστάντες τὴν τῶν ἀληθινῶν πατέρων ἐσώζομεν στοργὴν καὶ καθ᾽ ἑκάστην ὑπὲρ ὑμῶν ἐδεόμεθα τοῦ θεοῦ, καὶ εἴπερ ἡμῶν ἀποθανόντων λυθῆναι ὑμᾶς προὔκειτο τῶν λυπούντων, προθύμως ἂν ἐποιοῦμεν καὶ τοῦτο, μηδὲ ἡμῶν αὐτῶν φειδόμενοι διὰ τὴν ὑμετέραν ἀγάπην. Ἡ γὰρ κατὰ θεὸν ἀναχώρησις οὐ διάζευξίς ἐστιν ὧν τις ἀφίσταται, ἀλλ᾽ ἕνωσις μᾶλλον. Τότε γάρ, οἶμαι, δικαίως ἄν τις ὑπεύθυνος νομισθείη, ὅταν σωματικῆς ἀναπαύσεως ἕνεκεν τοὺς πνευματικοὺς παῖδας παρίδῃ· ἄλλως τε εἰ τῶν ἀναμφιβόλων ἦν, ὡς, εἴ γε ἡμεῖς αὐτόθι παρεμένομεν, ἐμένετε ἂν καὶ ὑμεῖς ἀπηλλαγμένοι τῶν δεινῶν, οὐκ ἔξω πάντως αἰτίας τὰ καθ᾽ ἡμᾶς. Δῆλον δὲ ὂν μήτε παρόντας ἡμᾶς στῆσαι δύνασθαι τὰ δεινά, μήτε αὐξῆσαι, οὐκ ἐπιζήμιος ἡ ἀναχώρησις. Πλὴν ἐπὶ τοῦ παρεληλυθότος πολλὰ λέγειν οὐκ ἀναγκαῖον. Ἃ δὲ εἰ παρὼν ἐτύγχανον εἰσηγεῖσθαι ὑμῖν ἔμελλον καὶ πατρικῶς ὑποδεικνύειν ὅσα θεοφιλῆ καὶ τοῖς κεκτημένοις ἀσφαλῆ καὶ σωτήρια, ταῦτα καὶ ἀπὼν ποιεῖν προτρέπω καὶ εὔχομαι τὴν ὑμετέραν ἀγάπην, ἅπερ, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, τὰ κατὰ θεόν ἐστιν ἔργα καὶ ἡ τῶν ἐντολῶν αὐτοῦ τήρησις, ἵν᾽ ἐκ τῆς θεοφιλοῦς ὑμῶν πολιτείας ἵλεων ἐργασάμενοι τὸν θεόν, τὸν παρ᾽ αὐτοῦ ἐπισπάσησθε ἔλεον, δι᾽ οὗ δυνησόμεθα τῶν πιεζόντων ἀπαλλαγήσεσθαι ἀλγεινῶν. Οὐδὲ γὰρ εἰ πολεμικοῖς μόνον ἔργοις προσκείμενοι καὶ περὶ ταῦτα πονοῦντες ἀεὶ καὶ ἀγρυπνοῦντες ἐκεῖνα παρορῶντες διατελεῖτε, δι᾽ ὧν ὁ τοῦ θεοῦ προσγίνεται ἔλεος, δυνήσεσθέ

2. *παισὶν ὧν* OA : *παισὶ* προστεθέντος εἶτα ἄλλῃ χειρὶ *ν* ἐν τέλει καὶ *ὧν* ἄνωθεν B 10. *ἐδεόμεθα* BO : *ἐδεόμεθα* ἐκ τοῦ *δεόμεθα* A 13. *ἀναχώρησις* BO : *ἀναχώρησις* ἐκ τοῦ *ἀναχώησις* A 15. *ἕνεκεν* BO : *ἕνεκεν* A 17. *ἡμεῖς* BOA *ἀπηλλαγμένοι* OA : *ἀπηλαγμένοι* τοῦ ἄνωθεν λ γραφέντος ἄλλῃ χειρὶ B 19. *οὐκ ἐπιζήμιος* BA : *οὐκεπιζήμιος* O *ἀναχώρησις* BO : *αναχώρησις* A 20. *οὐκ ἀναγκαῖον* B : *οὐκαναγκαῖον* OA 21. *ὑμῖν* B : *ἡμῖν* OA 22. *τοῖς* BO : *τῆς* A *ἀπὼν* BA : *ἀπὼν* ἐκ τοῦ *ἀπῶν* O 25. *ἵλεων* BO : *ἵλεον* A 26. *πιεζόντων* B : *πιαζόντων* OA 27. *οὐδὲ γὰρ* BO : *οὐδεγὰρ* A 29. *δυνήσεσθαί* BOA

Ε.Υ.Δ τη Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποτε λύσιν εὑρεῖν τῶν ἀνιαρῶν· οὔτε γάρ φησι τοῦ θέλοντος οὔτε τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ· ἵνα τοίνυν τὸν θεῖον εὕρητε ἔλεον, γίνεσθε κατὰ τὸν μακάριον Παῦλον ἐλεοῦντες ἐν ἱλαρότητι, τὴν ἀγάπην ἔχοντες ἀνυπόκριτον, ἀποστυγοῦντες τὸ πονηρόν, κολλώμενοι τῷ ἀγαθῷ, τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, τῷ Κυρίῳ δουλεύοντες, τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδίδοντες, προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων, εἰ δυνατὸν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. Δύναται δέ τις τὴν κτῆσιν τῶν θεαρέστων τούτων πορίσασθαι πράξεων, ἐπειδὰν τῷ τῆς σαρκὸς οὐχ ὑποπίπτει φρονήματι, ἀλλὰ τῷ τοῦ πνεύματος, διότι Τὸ φρόνημα τῆς σαρκός, ὁ θεῖος φησὶν Ἀπόστολος, ἔχθρα εἰς θεόν, ὁ δ' ἐκεῖνα διαπραττόμενος, δι' ὧν ἐχθρὸς γίνεται θεῷ, οὔτε τι κτᾶται τῶν ἀγαθῶν καὶ βασάνων ἑαυτῷ καθίσταται πρόξενος. Καὶ καθάπερ ὁ ἡμέτερος προπάτωρ, ὅτε σαρκικὰ φρονεῖν παρεσύρη, τότε καὶ θεοῦ ἐξέπεσε καὶ θάνατον ἐτρύγησεν, οὕτω καὶ νῦν ὁ τοῖς τῆς σαρκὸς ὑπείκων θελήμασιν ὄλεθρον ἑαυτῷ καὶ θάνατον κατασκευάζει. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη. Οὐ μόνον δὲ παρὰ μὲν τῆς σαρκικῆς προςπαθείας καὶ φαύλης διαίτης ὁ αἰώνιος τίκτεται θάνατος, παρὰ δὲ τῆς πνευματικῆς καὶ θεοπρεποῦς γνώσεως τῆς ἐκ τῆς τῶν ἐντολῶν ἐργασίας προςγινομένης ἡ ἀτελεύτητος φύεται ζωὴ καὶ ἡ πάντα νοῦν ὑπερέχουσα καὶ πάντοτε διαμένουσα εἰρήνη, ἀλλὰ πρὸς τοῖς αἰωνίοις τούτοις καὶ ὁ ὁρμώμενος οὗτος θάνατος καὶ ἡ ἐνταῦθα ζωὴ καὶ εἰρήνη παρ' ἑκατέρων δὴ τούτων τῶν εἰρημένων, τῆς σαρκός, λέγω, καὶ τοῦ πνεύματος, καταλλήλως ἀπογεννῶνται. Θνήσκουσι γὰρ ἐλεεινῶς ἐνθάδε καὶ ἄνθρωποι, μοχθηρᾷ τῆς σαρκὸς χρώμενοι συνηθείᾳ ἢ συγχωρήσει θεοῦ διὰ τὴν πονηρίαν βαρβάροις διαφθειρόμενοι ἢ τῇ τῆς διαίτης ἀμετρίᾳ κακῶς ἀπολλύμενοι καὶ πρὸ καιροῦ· ὡσαύτως τοῖς πνευματικῶς τὸν βίον ἀνύουσι καὶ ἡ παροῦσα ἐπεκτείνεται ζωὴ καὶ εἰρήνην κἀνταῦθα χαρίζεται.

Εἰ οὖν ἐν τῷ παρόντι καὶ ζωὴν ἡμεῖς ἔχειν ἄλυπον ἐφιέμεθα καὶ

1. *ἀνιαρῶν* B : *ἀνιάρων* OA 12. *οὔτε* BOA 14. *φρονεῖν* B : *φρονῇ* OA 15.* *θάνατον* BO : *θανάτον* A *τοῖς* B : *τοις* OA 16. *ὑπείκων* BO : *ὑπείκον* ἐκ τοῦ *ὑπεῖκον* A *ὄλεθρον* B : *ὄλεθρον* OA *κατασκευάζει* B : *κατασκεβάζει* OA 20. *θεοπρεποῦς* BO : *θεοπρεποῦς* ἐκ τοῦ *θεοπρεπούς* A 25. *ἀπογεννῶνται* BO : *ἀπογεννῶνται* A 26. *συνηθείᾳ* B : *συνήθεια* OA 27. *ἢ* BA : *ὁ* O *τῇ* BO : *τῆς* A 28. *πρὸ καιροῦ* B : *προκαιροῦ* OA 29. *ἀνύουσι* BA : *ἀνύουσιν* O

ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΣΗ ... ΦΙΛΟΛΟΓΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΙΣΤΟΡΙΑΣ ΚΑΙ ΑΡΧΑΙΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΙΔΗΣ

εἰρήνην χαρᾶς γέμουσαν, σκεπτέον, ἀδελφοί, κατὰ πνεῦμα φρονεῖν, κατὰ πνεῦμα διάγειν· τοῦτο δέ ἐστιν ἐκ τοῦ φεύγειν τὰς φαύλας ἡδονὰς καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθαι πρὸς ἐπιθυμίας, ἀλλ᾽ ὅλους εἶναι καθαροὺς καὶ προθύμους πρὸς τὰ θεῖα θελήματα, ἀπό τε τῆς ἐξαγγελίας καὶ ἀποθέσεως τῶν πεπλημμελημένων, ἀπὸ τῆς συνεχοῦς μεταλήψεως τῶν ἀπορρήτων μυστηρίων, τῆς πρὸς τοὺς πένητας εὐποιίας, τῆς πρὸς τοὺς πάσχοντας συμπαθείας, τοῦ μῖσος καὶ φθόνον καὶ καταλαλιὰν τῆς ψυχῆς ἀπαλείφειν, τοῦ τὴν ἀδικίαν ἅπασαν καὶ φιλονεικίαν ἀπωθεῖσθαι, τοῦ δικαιοσύνην καὶ ἀγάπην καὶ ἔλεον ὑπὲρ τῶν ἀδελφῶν περιποιεῖσθαι. Ταῦτά ἐστιν ἡ πνευματικὴ κατὰ Χριστιανοὺς πολιτεία· δι᾽ ἃ καὶ ζωῆς καὶ εἰρήνης ἀληθινῆς ἀπολαύομεν ἄνθρωποι. Ὡς ἔοικεν οὖν, ἐπειδὴ νῦν τῆς πνευματικῆς ταύτης ἀπέστημεν πολιτείας, διὰ τοῦτο καὶ παρὰ τῶν βαρβάρων σφαγὰς ἔχομεν διηνεκεῖς καὶ θανάτους καὶ πολέμου γέμομεν ἀεὶ παρ᾽ αὐτῶν καὶ συγχύσεως.

Ἀναγκαῖον οὖν, ἀγαπητοί, δι᾽ ἔργων θεοφιλῶν ἐξιλεώσασθαι τὸν μόνον δεσπότην, ἵνα καὶ τὴν ἐπενεχθεῖσαν ἡμῖν παρ᾽ αὐτοῦ μάστιγα διὰ τὰς ἁμαρτίας ἡμῶν φύγωμεν. Εἰ γὰρ παροργίσαντες τὸν θεὸν μαστιζόμεθα, πάντως εἰ θεραπεύσομεν αὐτὸν καὶ τῆς μάστιγος ἀπαλλαγησόμεθα καὶ δωρεῶν, ἐπειδὴ φιλάνθρωπός ἐστιν, ἀξιωθησόμεθα. Ἔτι δὲ καὶ ὃ πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην καὶ γλώττῃ καὶ γράμμασιν ὡμίλησα, τὸ δέ ἐστιν ἡ πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα εὐνοϊκωτάτη καὶ δουλικὴ διάθεσις τῶν ὀφειλομένων, καὶ τοῦτο μετὰ πολλῆς τηρεῖσθαι τῆς προθυμίας, εἰδότας ὡς ἡ πρὸς αὐτὸν ἄδολος καὶ καθαρὰ πίστις εἰς τὸν θεὸν διαβαίνει καὶ ὁ τοῦτον παραπικραίνων ὡς εἰς θεὸν προσκρούει. Θεοῦ γάρ ἐστι διάκονος, καὶ ὁ ἀντιτασσόμενος αὐτῷ τῇ τοῦ θεοῦ φησιν ἀνθέστηκε διαταγῇ. Ὡς οὖν χαλεπώτατον κατὰ θεοῦ μάχεσθαι, οὕτω σφαλερὸν καὶ ὀλέθριον βασιλεῖ μὴ ὑποπίπτειν ἁγίῳ. Καθάπερ γὰρ οἰκία, ἕως ἂν ᾖ τοῖς κίοσιν ἢ τοῖς στύλοις, ἐφ᾽ ὧν ἐρείδεται, προσηνωμένη καὶ ἀδιάσπαστος, ἄσειστος μένει καὶ τὴν λειτουργίαν ἀποδίδωσι τοῖς δεσπό-

2-3. *ἡδονὰς* B : *καὶ ἡδονὰς* OA  3. *ὅλους* B : *ὅ* O : *ὅ* A  5. *ἀπὸ τῆς* B : *ἀποτῆς* OA  6. *ἀπορρήτων* BA : *ἀπορήτων* O  8. *καταλαλιὰν* BO : *καταλαλιὰν ἐκ τοῦ καταλαλίαν* A  10-11. *χριστιανοὺς* B: *χριστιάνους* OA  16. *δι᾽ ἔργων* BA : *διέργων* O  21. *ὃ* BA : *ὁ* O  21-22. *γράμμασιν* BO : *γράμασιν* A  22. *ὡμίλησα* BO : *ὡμίλησα ἐκ τοῦ ὡμήλησα* A  23. *εὐνοϊκωτάτη* B : *εὐνοικωτάτη* OA  25. *τὸν* BA : λείπει O  26. *γάρ* BA : *γὰρ* O  30. *κίοσιν* OA : *κίοσιν ἐκ τοῦ κίωσιν* B



Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ται, τῶν δὲ κατεχόντων χωρισθεῖσα στηριγμάτων καταπίπτει καὶ διαφθείρεται, οὕτω καὶ ἐπὶ τῶν ὑπηκόων πρὸς βασιλέα, μένοντες μὲν οἱ ὑπὸ χεῖρα τούτῳ συνδεδεμένοι καὶ ἀδιάρρηκτοι, τὸ ἀσφαλὲς ἔχουσι καὶ ὀλέθρου εἰσὶν ἀνώτεροι· ἐκπεπτωκότες δὲ αὐτοῦ καὶ διασεισθέντες, πρὸς κίνδυνον τελευτῶσι καὶ ἀπώλειαν. Βάσεως γὰρ τόπον ὁ βασιλεὺς ἔχει, ὡς καὶ ἡ ἐπωνυμία παρίστησι, καὶ ὁ τῆς βάσεως ἐκπεπτωκὼς οὐ δύναται μένειν ἀκίνδυνος. Διὰ ταῦτα ἐμμένειν ἡμᾶς ἀναγκαῖον τοῖς αὐτοῦ ἐπιτάγμασι καὶ πάντα τρόπον σπεύδειν ἄσειστον διασώζειν τὴν μετ᾽ αὐτοῦ ἕνωσιν καὶ τὴν πρὸς αὐτὸν εὔνοιαν πολλαχόθεν ἐπιχειρεῖν ἐπιδείκνυσθαι. Ὥσπερ οὖν τὸν θεὸν θεραπεύοντες καὶ τῷ σώματι πονοῦμεν, ἱδρῶτας χέοντες ὑπὲρ αὐτοῦ καὶ χρήματα, καὶ πάντα τὰ ὄντα κενοῦμεν, τὸν ἴσον τρόπον καὶ ἐπὶ τοῦ θειοτάτου βασιλέως διενεργεῖν ὀφείλομεν. Ἀποδιδόντες οὖν οὕτω τῷ βασιλεῖ τὰ εἰκότα, ταχέως, οἶμαι, καὶ κατὰ βαρβάρων τρόπαιον στήσομεν καὶ θείων δωρεῶν ἀπολαύσομεν· εἰ δὲ καὶ ἡ μάστιξ ἔτι μένει, τὰ δέοντα ἡμῶν ἀποπληρούντων, ἀλλὰ καὶ οὕτως εὐχαριστεῖν ἀνάγκη τῷ θεῷ, πρὸς ὠφέλειαν ἡμετέραν πραγματευομένῳ. Πᾶσα γάρ φησι παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι᾽ αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. Εὐχαρίστως οὖν, ἀδελφοί, τὴν παροῦσαν καρτερήσωμεν παιδείαν, ἵνα καὶ τῶν παρὰ θεοῦ καρπῶν ἐπιτύχωμεν νῦν τε καὶ εἰς τὸ μέλλον. Ὧν εἴη πάντας ἡμᾶς ἀξιωθῆναι τῇ χάριτι αὐτοῦ καὶ φιλανθρωπίᾳ.

Τὸ αὐτὸ ἐγράφη Σεπτεμβρίου ιδ᾽ ἰνδικτιῶνος θης.

3. *ὑπὸ χεῖρα* BA : *ὑποχεῖρα* O 4. *ὀλέθρου* B : *ὀλέθρου* OA 5. *τελευτῶσι* BA : *τελευτῶσι* ἐκ τοῦ *τελευτώσι* O 7. *διαταῦτα* BOA 10. *ὥσπερ* BO : *ὥσπερ* A 11. *πονοῦμεν* BO : *ποιοῦμεν* A 13. *διενεργεῖν* B : *διὲνεργεῖν* OA *ὀφείλομεν* BA : *ὀφείλομεν* O 15. *μένει* BO : *μενει* A 17. *ὠφέλειαν* B : *ὀφέλειαν* O : *ὀφέλειαν* ἐκ τοῦ *ὠφέλειαν* A 19. *αὐτοῖς* BOA 20. *καρτερήσομεν* BOA 21. *τε* O : *τὲ* BA 23. *σεπτεμβρίου* O : *σεπτεβρίου* BA *θης* BA : *θ'η* O

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## 8.

### *Τοῦ αὐτοῦ ἑτέρα ἐπιστολὴ εἰς τοὺς αὐτοὺς ἐκ τῆς Κωνσταντινουπόλεως.*

Οἱ ἐν τῇ θεοσώστῳ καὶ περιφανεῖ πόλει Θεσσαλονίκῃ εὐγενέστατοι ἄρχοντες ὅσοι τοῦ πρώτου γένους καὶ τῆς ἐνδόξου καὶ λαμπροτάτης φυλῆς καὶ ὅσοι τοῦ ἱερατικοῦ καὶ μοναχικοῦ καταλόγου καὶ ὅσοι τῆς σεμνῆς καὶ περιδόξου πολιτείας καὶ οἱ τοῦ ἰδιωτικοῦ συστήματος καὶ ὁ λοιπὸς ἅπας τοῦ Κυρίου λαὸς ὁ χριστεπώνυμος, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάριν, εἰρήνην, ἔλεος καὶ ἄλλο εἴ τι ἀγαθὸν ὁμοῦ καὶ σωτήριον ἐπεύχεται ὑμῖν ἅπασιν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος.

Πεπληροφόρημαι, ὅτι ποθεῖτε περὶ πολλοῦ τὴν ἡμετέραν ἐν ὑμῖν παρουσίαν· καὶ πείθει με πρὸς τοῦτο ἡ ἄδολος εὔνοια καὶ τὸ εἰλικρινὲς καὶ διάπυρον σέβας ὃ περὶ ἡμᾶς ἐπιδείκνυσθε συνόντας καὶ προςδιαλεγομένους ὑμῖν καὶ ἔτι ἡ τῶν εἰς ἡμᾶς ἐξ ὑμῶν παραγινομένων ἀπαγγελία σαφεστάτη διὰ βεβαιωτικῶν καὶ ἀναντιρρήτων ῥημάτων, ὅπως μεγίστην τρέφετε καὶ νῦν ἔφεσιν θέας ἕνεκεν ἡμετέρας. Τὸ δὲ μεῖζον, ἐξ ἡμῶν αὐτῶν τὴν εἰς τοῦτο κεκτήμεθα πίστιν· ποθοῦμεν γὰρ καὶ ἡμεῖς τὴν ὑμετέραν ἀγάπην καὶ ἰδεῖν συνήθως καὶ ὁμιλῆσαι καὶ εὐλογῆσαι καὶ ἁγιάσαι καὶ συνεύξασθαι καὶ συνάψασθαι πρὸς ἁγιασμόν τε καὶ σύστασιν πραγμάτων ἱερῶν τε καὶ κοινῶν καὶ παντοίαν ἄλλην πνευματικὴν εὐφροσύνην καὶ τέρψιν συνευφρανθῆναι, καὶ τοῦτο διηνεκῶς κατὰ νοῦν στρέφομέν τε καὶ ἀνελίττομεν καὶ ἡμέρας σχε-

8. Ἐν τῇ ἐπιγραφῇ *Τοῦ αὐτοῦ — κωνσταντινουπόλεως* Ο : *Τοῦ αὐτοῦ ἑτέρα εἰς τοὺς αὐτοὺς* Α : λείπει Β

3. *ἱερατικοῦ* ΒΟ : *ἱερατικοῦ* κατὰ διόρθωσιν ἄλλης λέξεως ἀδιαγνώστου Α

3-4. *καὶ ὅσοι τῆς σεμνῆς* ΒΟ : *καὶ ὅσοι τῆς σεμνῆς* (διαγεγραμμένα) *καὶ ὅσοι τῆς σεμνῆς* Α 4. *ἰδιωτικοῦ* ΒΑ : *ιδιωτικοῦ* Ο 5. *καὶ ὁ λοιπὸς — χριστεπώνυμος* ΒΟ : λείπουσιν Α 7. *ὁμοῦ* Β : λείπει ΟΑ 9. *περὶ πολλοῦ* Α : *περιπολλοῦ* Ο : *περὶ‿πολλοῦ* Β *τὴν* ΒΟ : *τὴν* ἐκ τοῦ *τὴν* Α 10-11. *εἰλικρινὲς* ΒΟ : λείπει Α 11. *καὶ* Ο : *καὶ* διαγεγραμμένον Α : λείπει Β *ἐπιδείκνυσθε* ΒΟ : *ἐπιδείκνυσθε* ἐκ τοῦ *ἐπιδείκνυσθαι* Α 11-12. *προσδιαλεγομένους* Β : *πρόσδιαλεγομένους* ΟΑ 13. *διὰ βεβαιωτικῶν* ΒΟ : *διαβεβαιωτικῶν* Α 16. *ὁμιλῆσαι* ΒΑ : *ὁμηλῆσαι* Ο

Ε.Υ.Δ τηε Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁὸν ἁπάσης τοῦτο ἡμῖν ὑπόθεσις μεγίστη πρὸς ὁμιλίαν, τοῦτο τὸ προκείμενον εἰς βουλήν, τοῦτο τὸ μελετώμενον, καὶ μετὰ τοιαύτης ἐννοίας πολλάκις καθεύδομεν· ἀλλὰ καὶ ἐν ὕπνοις τοιαῦτα ὁρᾶν δοκοῦμεν, καὶ εἰς τοῦτο πρὸ πάντων ἀεὶ καὶ ἀντὶ πάντων ἀδολεσχοῦμεν. Ὁ δὲ πόθος οὗτος τὴν ἴσην δίδωσι λογίζεσθαι διάθεσιν καὶ τοὺς ποθουμένους ἀντεισφέρειν περὶ ἡμῶν· εἰ γὰρ ὁ τῆς φύσεως δεσμὸς ἕλκει τοὺς συναπτομένους ἀντιποθεῖσθαι, πολλῷ μᾶλλον ὁ πνευματικὸς καὶ τῆς θείας χάριτος· πληροφορήθητε δέ, ἀγαπητοὶ ἀδελφοί, ὅτι καὶ ἕτοιμοί ἐσμεν σὺν θεῷ καταλαβεῖν αὐτόθι καὶ τοῦτο μόνον περιμένομεν, τοὺς ἐλευσομένους ἄρχοντας εἰς τὸν μέγαν αὐθέντην, ἵνα, ὅταν στραφῶσιν, ἐπανέλθωμεν, θεοῦ θέλοντος, μετ᾽ αὐτῶν. Ὃ καὶ γένοιτο κατὰ τὴν ἀποδοχὴν τοῦ Κυρίου, καὶ χαίρων χαίροντας ἴδοιμι τοὺς ἐμοὺς ἐν Χριστῷ καὶ παῖδας καὶ πατέρας καὶ ἀδελφούς, τὰ ἐμὰ πνευματικὰ μέλη, τὸ ἱερὸν σύστημα, τὸ συγγενὲς ἄθροισμα τῆς ἐμῆς καὶ δόξης καὶ φύσεως, τὸν χριστώνυμον κλῆρον, τὸν ἀμπελῶνα τοῦ ἠγαπημένου τὸν πρὸ μικροῦ περιδόητον τῷ χαρακώματι καὶ φραγμῷ καὶ τῇ φυτείᾳ καὶ ἀσφαλείᾳ, ὕστερον δὲ εἰς διαρπαγήν, φεῦ, καὶ κοινὴν ὕβριν καὶ καταπάτημα κατενεχθέντα, ἀλλ᾽ ἐσόμενον, εἰ θεὸς ἐθέλει, ἐκ τῆς περιλειφθείσης μικρᾶς παραφυάδος εἰς εὐκληματοῦσαν ἄμπελον καὶ εἰς μέγα καὶ εὔσταχυ καὶ πῖον τὸ μικρὸν νῦν ὁρώμενον γεώργιον.

Καὶ τούτου μὲν οὕτως ἄγοιτο τὴν ἔκβασιν ὁ θεός· ὑμεῖς δέ, ἀγαπητοὶ ἀδελφοί, ὅσῳ πολλοὺς ὑπέστητε πειρασμούς, πολιορκίᾳ καὶ ταλαιπωρίᾳ καὶ λιμῷ καὶ πόνῳ καὶ ἀνδραποδισμῷ καὶ ξίφει παλαίσαντες, τοσούτῳ καὶ ἐπὶ μέγα διαλάμψειν ὀφείλετε πρὸς ἀρετήν. Ἐκεῖνα γὰρ βάσανος ἦν ὡσπερεὶ καὶ κάθαρσις τῶν προσγενομένων ὑμῖν ῥύπων ἐξ ἁμαρτίας, ἵνα διὰ τῆς τῶν δακνόντων ἐπιφορᾶς καὶ βασάνου καθαροὶ γένησθε, καὶ πάντα μολυσμὸν ἀποθέμενοι λαμπροὶ τῷ λαμπροτάτῳ Χριστῷ πρὸς κοινωνίαν προσέρχησθε καὶ ὅλοι λάμποντες

1. τὸ B : λείπει OA 2. ἐννοίας BA : εννοίας O 6. ἀντεισφέρειν BA : ἀντεισφέρειν τοῦ εισφέρειν γεγραμμένου ἐπὶ γραμμάτων διεξεσμένων O 8. ἕτοιμοί ἐσμεν B : ἕτιμοι ἐσμὲν OA 9. καταλαβεῖν B : κατάλαβεῖν OA 12. χαίροντας B : χαίρωντας OA Ἴδοιμι BO : ἴδοιμῖ ἐκ τοῦ Ἴδοιμι τοῦ ῖ προστεθέντος χειρὶ νεωτέρᾳ A 15. χριστώνυμον B : χρηστώνυμον OA ἠγαπημένου B : ἠγαπημένου OA 16. πρὸ B : πρὸς O : πρὸς ἐκ τοῦ πρὸ A 17. ἀσφαλείᾳ B : ασφαλείᾳ OA καὶ BO : καὶ (διαγεγραμμένον) καὶ A 19. παραφυάδος BA παραφυάδος O 20. εὔσταχυ BA : εὔσταχοι O 24. ὀφείλεται BOA 26. ἐξ ἁμαρτίας BA : ἐξαμαρτίας O 28. κοινωνίαν BO : κοινωνίαν ἐκ τοῦ κοινωνίαν A προσέρχησθε B : προσέρχεσθε ἐκ τοῦ προσέρχησθε A : προσέρχεσθε O

Ε.Υ. ΔΤΠΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διαδειχθῆτε καὶ φωτεινοί, ἀρρύπωτον δεικνύντες ὅπερ ἐνεδύθητε θεῖον βάπτισμα. Καὶ χρυσὸς γὰρ διὰ τοῦτο πυρὶ προσρίπτεται καὶ χωνείᾳ, ἵνα λαμπρότερος γένηται, καὶ νοσοῦντες διὰ τοῦτο παρ' ἰατρῶν ἐνίοτε καὶ πικρὰ φάρμακα καὶ δεσμὰ καὶ τομὰς καὶ καύσεις ὑφίστανται ἵνα πρὸς ὑγείαν ἐπανέλθωσιν. Εἰ δὲ μετὰ τὴν παιδείαν ἐκείνην καὶ χωνείαν καὶ τὰ τοσαῦτα φάρμακα μένομεν νοσοῦντες, τί πάντως τὸ προσδοκώμενον ἢ ὁλόκληρος κἀνταῦθα ἀπώλεια, κἀκεῖ βάσανος αἰώνιος; Καὶ κατακλυσμὸς γὰρ πάλαι διὰ τοῦτο τοῖς ἀνθρώποις ἐπῆλθε, καὶ Σοδομῖται διὰ ταῦτα πυρὸς γεγόνασι παρανάλωμα, ὅτι παιδευόμενοι οὐκ ἐπέστρεφον. Ἀλλ' ἵνα μὴ τοῦτο γένηται, σκοπήσωμεν, ἀδελφοί, τὸ ὀρθόδοξον πρὸ πάντων ἀκίβδηλον πάσῃ σπουδῇ καὶ δυνάμει διατηρεῖν, κἂν περιουσίας γύμνωσιν ἢ πατρίδος ἀλλοτρίωσιν ἢ μελῶν ἀφαίρεσιν ἢ βασάνων πεῖραν πολυειδῶν ἢ θάνατον ὑποστῆναι τὸν βιαιότατον δέῃ, ταῦτα πάντα προθύμως ὑπομεῖναι, ἵνα μηδὲ τὸ σμικρότατον παρεκκλίνωμεν καὶ προδῶμεν τῆς ἀμωμήτου θρησκείας, ἀλλ' ἵνα μάλιστα διὰ τούτων Χριστὸν κερδήσαντες αἰωνίως τοῖς ἁγίοις συναγαλλώμεθα, τῶν ἀπορρήτων κατατρυφῶντες ἀγαθῶν. Οὐδὲ γὰρ δουλεία καὶ τὸ πρὸς πίστιν τῶν δεσποτῶν ἀνόμοιον παραβλάψαι ἡμᾶς δύναται, ἕως ἂν ἀκλινῆ καὶ ἄσειστον τὴν ὀρθὴν καὶ πάτριον διασώζωμεν τάξιν. Τὸ μὲν γὰρ ὑποτάσσεσθαι τοῖς ἰδίοις δεσπόταις καὶ ὧν νῦν εἰς δούλους τελοῦμεν καὶ ὅση δύναμις θεραπεύειν αὐτοὺς ἐν ταῖς κατὰ τὸν βίον τοῦτον ἐπιταγαῖς δέδοται, τοῦτο καὶ ὑπὸ τῶν μακαρίων ἀνδρῶν πάλαι κηρύττεται, νῦν μὲν τοῦ ἀποστόλου Πέτρου βοῶντος «Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον», νῦν δὲ τοῦ θείου

1. *ἀρύπωτον* (ρ superscript) τοῦ ἄνωθεν *ρ* προστεθέντος ἄλλῃ χειρὶ B : *ἀρύπωτον* OA 3. *λαμπρότερος* B : *λαμπροτέρος* OA 5. *εἰ* BA : *ἡ* O 7. *κἀκεῖ* BA : *κακεῖ* O 8. *κατακλυσμὸς* BA : *κατάκλυσμός* O *ἐπῆλθε* BA : *ἐπῆλθε* ἐκ τοῦ *ἐπίλθε* O 9. *σοδομῖται* B : *σοδομῆται* OA 10. *ἐπέστρεφον* BO : *ἐπίστρεφον* A *τοῦτο* BA : *τούτων* O 11. *ἀκίβδηλον πάσῃ* B : *ἀκήβδηλον πᾶσι* OA 12. *κἂν* BO : *κὴν* A *ἢ πατρίδος (παρ* διαγεγραμμένον καὶ εἶτα *πατρίδος* A) *ἀλλοτρίωσιν* BA : λείπουσιν O *μελῶν* BO : *μελλῶν* A 13. *πεῖραν* B : *πεῖραν* OA *πολυειδῶν* BA : *πολυϊδῶν* O 13-14. *βιαιότατον δέῃ* B : *βιαιώτατον δέει* OA 15. *παρεκκλίνωμεν* B : *παρεκκλίνομεν* ἐκ τοῦ *παρεκλίνομεν* O : *παρεκλίνωμεν* (κ superscript) τοῦ ἄνωθεν *κ* προστεθέντος ἄλλῃ χειρὶ A 16-17. *συναγαλλώμεθα* B : *συναγαλλόμεθα* OA 19. *ἀκλινῆ* BA : *κλινῆ* O 21. *τελοῦμεν* BO : *διατελοῦμεν* A 22. *κατὰ τὸν* BA: *κατατὸν* O 24. *ὑποτάγητε* BO : *ὑποτα* (διαγεγραμμένον) *ὑποτάγητε* A *πάσῃ* BA : *πᾶσῃ* O *νῦν* BO : *νῦν μεθ' ὅ νυ* διαγεγραμμένον A

Ε.Υ.Δ τη Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Παύλου διασαλπίζοντος «Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω». Οὐ γάρ ἐστιν ἐξουσία εἰμὴ ὑπὸ θεοῦ, καὶ ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκε, καὶ οὐκ εἰκῇ τὴν μάχαιραν ὁ ἄρχων φορεῖ· θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. Τοῦτο μὲν οὖν ὡς δεδομένον καὶ τηρεῖν ὀφείλομεν ἐπιμελῶς καὶ ἀγαπᾶν τοὺς ἡμετέρους δεσπότας καὶ πᾶσι τρόποις ὑπείκειν αὐτοῖς ἐν οἷς ἂν ἐπιτάττοιεν ἐν βιωτικοῖς. Τὸ δὲ μηδέν τι σείειν τῶν ἱερῶν ὁρίων, ἀλλ' ἀσφαλῆ ταῦτα καὶ ἄσειστα διασώζειν, τοῦτο λυσιτελέστατόν τε καὶ ἀναγκαιότατον, καὶ ὑπὲρ τούτου πάντα πάσχειν ἑτοίμους εἶναι χρή, καὶ αὐτὴν εἰ δεήσει προέσθαι τὴν ζωήν. Ἄλλως τε καὶ οἱ καθ' ἡμᾶς οὗτοι δεσπόται, ἕως ἂν ἡμᾶς ὁρῶσιν ἐν τοῖς πατρίοις καὶ ὑγιέσι βεβαίως μένοντας δόγμασι, δι' αἰδοῦς ἄγουσι καὶ τὰ ἡμέτερα καὶ κούφην ἡμῖν παρασκευάζουσι τὴν δουλείαν· μᾶλλον δὲ θεὸς αὐτὸς διὰ τὴν ἀκραιφνῆ πρὸς αὐτὸν πίστιν ἐλέῳ κινούμενος πείθει καὶ τοὺς τοιούτους δεσπότας εὐνοϊκῶς διακεῖσθαι περὶ ἡμᾶς καὶ γνησίως, ὡς ἄρα τοὐναντίον, ἐπειδὰν τῶν ὀρθῶν καὶ πατρίων ἀμελήσωμεν, ἀσυμπαθεῖς ἕξομεν καὶ πικροὺς τοὺς δεσπότας.

Νῦν οὖν, ἵν' εἴπω κατὰ τὸν ἱερὸν Παῦλον μικρὸν ὑπαλλάττων, ἵνα μὴ μειωθῇ ἡ θρησκεία, ἐν παντὶ διάγειν ἀνεπιλήπτως σπουδάσατε, συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι ἐν ὑπομονῇ πολλῇ, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀλη-

1. *διασαλπίζοντος* ΒΑ : *διάσαλπίζοντος* Ο  1-2. *ὑποτασσέσθω* ΒΑ : *ὑποτασσεσθω* Ο  2. *γάρ* Β : *γὰρ* ΟΑ  *εἰκῇ* ΒΟ : *εἰκῇ* ἐκ τοῦ *εἰκεῖ* Α  4. *διάκονός* ΒΟ : *διάκονος* Α  *ἐστι* ΒΟΑ  5. *πράσσοντι* ΒΟ : *πράττοντι* Α  *ὡς* Β : λείπει ΟΑ  5-6. *ὀφείλομεν* Β : *ὀφείλωμεν* Α : *ὀφείλωμεν* Ο  7. *ἐν οἷς ἂν ἐπιτάττοιεν (ἐπιτάττη* Α) *ἐν βιωτικοῖς* ΒΑ : λείπουσιν Ο  8. *ὁρίων* Β : *ὀρείων* Ο : *ὁρίων* ἐκ τοῦ *ὀρείων* Α  9. *ἀναγκαιότατον* Β : *ἀναγκαιώτατον* Ο : *ἀναγκαιότατον* ἐκ τοῦ *ἀναγκαιώτατον* Α  *ὑπὲρ τούτου* ΒΑ : *ὑπερτούτου* Ο  10. *ἑτοίμους* ΒΑ : *ἑτοίμους*' Ο  12. *βεβαίως* Β : *βεβαίων* Ο : *βεβαιομεν* (διαγεγραμμένον) *βεβαίων* [σ] Α  *μένοντας* ΒΟ : *μένοντας* ἐκ τοῦ *μένονται* Α  13. *τὰ* ΒΑ : *τα* Ο  14. *θεὸς* ΒΑ : *οθεός* Ο  *ἀκραιφνῆ* Β : *ακρεφνῆ* ΟΑ  15. *εὐνοϊκῶς* ΒΟ : *εὐνοϊκῶς* ἐκ τοῦ *εὐνοηκῶς* Α  16. *τοὐναντίον* ΒΟ : *τῶν* (διαγεγραμμένον) *τοὐναντίον* Α  *ἐπειδὰν* Β : *ἐπειδᾶν* Ο : *ἐπειδᾶν* Α  17. *ἀμελήσωμεν* ΒΟ : *ασφ* (διαγεγραμμένον) *ἀμελήσωμεν* Α  *ἕξομεν* Β : *ἕξωμεν* Ο : *ἕξομεν* ἐκ τοῦ *ἕξωμεν* Α  19. *μιωθῇ* [ει] [λ] Β : *μιωθῇ* ΟΑ  20. *ἐν κόποις* ΒΟ : *εὐκόπως* Α  21. *ἁγνότητι* Β : *ἀγνότητι* ΟΑ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θείας, ἐν δυνάμει θεοῦ. Νῦν, ὅτε ὁ κλύδων ἐπέστη, φανῆναι χρὴ τοὺς ἄριστα πρὸς κύματα διαμαχομένους. Ὅτε ὁ πόλεμος, οἱ στρατιῶται τὴν τῶν ὅπλων ἀρετὴν ἐπιδειξάτωσαν. Τίς γὰρ οἶδεν εἰ διὰ μέγιστον πρὸς ψυχὴν κέρδος τὰ παρόντα ἡμῖν ὁ θεὸς συνεχώρησε. Καὶ γὰρ καὶ τῶν ἁγίων οὐκ ὀλίγοι λαμπρότεροι τοῖς πειρασμοῖς ἐδείχθησαν, καὶ ἄλλοι βαρβάρων ἐν μέσῳ καὶ ἀλλοφύλων καὶ ἑαυτοὺς διέσωσαν κἀκείνους ἐφώτισαν. Διὰ τοῦτο χρεία λοιπὸν ἡμῖν ἀγώνων πνευματικῶν καὶ νήψεως καὶ εἰδέναι ἕκαστον ἡμῶν χρή· ἐρῶ γὰρ ὃ καὶ πρὸς τοὺς πρὸ ὑμῶν πατέρας ὁ μακάριος εἴρηκε Παῦλος· τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας. Τοῦτο γὰρ καὶ ἡμεῖς σὺν τῷ κήρυκι τούτῳ καὶ προείπομεν ὑμῖν καὶ διεμαρτυράμεθα, ὅτι οὐκ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ. Οὐκοῦν σπουδαστέον, ἀδελφοί, τὸν ἡμέτερον βίον φωτεινὸν ἀπεργάζεσθαι καὶ ἀνεπίληπτον. Ἐκ γὰρ τῆς τοῦ βίου καθαρότητος ἑδραῖα καὶ τὰ τῆς πίστεως καθίσταται, ἐπείπερ πίστις βεβαίως οὐ πέφυκε παραμένειν, φαύλης μενούσης τῆς πολιτείας, ἀλλ' ὥςπερ ἐπὶ οἰκίας, ἀναιρεθέντων τῶν στύλων οἷς ἥδρασται, συγκαταπίπτει καὶ ἡ οἰκία, οὕτω καὶ ἀρετῶν ἄνευ καὶ πολιτείας θεοφιλοῦς εὐσεβὴς οὐ παραμένει θρησκεία. Ἀποθώμεθα οὖν, ἀγαπητοί, τὰ ἔργα τοῦ σκότους καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτὸς εἰς δόξαν τοῦ πάντων δεσπότου, ἵνα ἐν ἡμέρᾳ αἰωνίᾳ ἀνεπαισχύντως περιπατήσωμεν, τῆς ἀρρήτου δόξης αὐτοῦ καὶ χαρᾶς αἰωνίως καταπολαύοντες, ἧς ἀξιωθείημεν ἅπαντες.

Αἱ ὀκτὼ ἐπιστολαὶ τοῦ Ἰσιδώρου, ἃς ἐξέδωκ' ἀνωτέρω, δὲν εἶνε αἱ μόναι ὑπὸ τοῦ μητροπολίτου Θεσσαλονίκης γραφεῖσαι· τρανὴν δὲ περὶ τούτου ἀπόδειξιν ἔχομεν ἔν τε τῇ πρώτῃ τῶν κατωτέρω ἐκδιδομένων ἐπιστολῶν τοῦ Δημητρίου Κυδώνη, δι,

1. ὁ BO : λείπει A *κλύδων* BA : *κλάδων* O *ἐπέστη* BA : *επέστη* O
3. *οἶδεν* BA : *οἶδεν* O *εἰ* B : *ἢ* OA *διὰ μέγιστον* BA : *διαμέγιστον* O
4. *ἡμῖν* BO : *ἡμῖν ἐκ τοῦ ὑμεῖν* A 5. *οὐκ ὀλίγοι* BA : *οὐκολίγοι* O
6. *διέσωσαν* BO : *διέσωσαν* A 9. *ὑμῶν* B : *ἡμῶν* OA 11. *σὺν τῷ* BA : *συντῷ* O *τούτῳ* B : *τοῦτο* OA *ὑμῖν* BO : *ὑμῖν ἐκ τοῦ ἡμῖν* A 12. *οὐκ ἐκάλεσεν* BA : *οὐκεκάλεσεν* O 14. *ἀνεπίληπτον* B : *ἀνεπίλυπτον* O : *ἀνεπίληπτον ἐκ τοῦ ἀνεπίλυπτον* A *ἐκ* B : *καὶ* OA *ἑδραῖα* BO : *ἑδραῖα κατὰ διόρθωσιν τοῦ ε εἰς α* A 15. *ἐπείπερ* BA : *επείπερ* O 16. *ὥςπερ* B : *ὥςπερ* OA 17. *ἡ* B : λείπει OA 18. *οὐ ἐν συνεχείᾳ τοῦ κειμένου* BO : *οὐ πρόςθετον ἄνωθεν τῇ αὐτῇ χειρὶ* A 20. *ὅπλα* BA : *όπλα* O 21. *περιπατήσωμεν* BA : *περπατήσωμεν* O

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἧς προεκάλει γράμματ' αὐτοῦ, πολὺ δὲ μᾶλλον ἐν τῇ δευτέρᾳ, ἐν ᾗ ῥητὸς γίνεται λόγος περὶ ἐπιστολῶν τοῦ Ἰσιδώρου σταλεισῶν πρὸς τὸν Κυδώνην.

Τῶν δύο τούτων ἐπιστολῶν ἡ πρώτη εἶνε ἤδη ἐκδεδομένη ὑπὸ τοῦ Boissonade[1] ἐπὶ τῇ βάσει τοῦ Παρισιακοῦ κώδικος 1213 (Π), ἐνταῦθα δ' ἐκδίδεται ἐκ νέου μετ' ἀντιβολὴν τοῦ κειμένου, οἷον ἐξεδόθη ὑπὸ τοῦ Boissonade, πρὸς τὸν ἐν τῇ βιβλιοθήκῃ τοῦ Βρεττανικοῦ μουσείου Βουρνεϊανὸν (Burneianus) κώδικα 79 τοῦ δεκάτου πέμπτου αἰῶνος, ἐν φ. 296^β κ. ἑ. (Λ), ἐν ᾧ φέρει τὸν ἀριθμὸν ρϛ'. Τὴν δὲ δευτέραν, ἀνέκδοτον οὖσαν, παρέχω ἐνταῦθα τὸ πρῶτον ἐκ τοῦ αὐτοῦ Βουρνεϊανοῦ κώδικος, φ. 298^β, ἐν ᾧ φέρει τὸν ἀριθμὸν ρζ'. Εἶνε δ' ὁ κῶδιξ οὗτος ὅσον μοι γνωστὸν ὁ μόνος ἐν ᾧ περιλαμβάνεται αὕτη ἡ ἐπιστολή[2].

Σημειωτέον δὲ, ὅτι μιᾶς καὶ μόνης ἐπιστολῆς τοῦ Κυδώνη πρὸς τὸν Γλαβᾶν μνημονεύων ὁ Combefisius[3] ἀναφέρεται πιθανώτατα εἰς τὸν αὐτὸν ἐκεῖνον Παρισιακὸν κώδικα, ἐξ οὗ ἐξέδωκεν ὁ Boissonade τὴν πρώτην τῶν ἀνωτέρω ἐκδιδομένων ἐπιστολῶν.

Καὶ ὑπάρχουσι μὲν δύο μητροπολῖται Θεσσαλονίκης φέροντες, καθ' ἃ εἴδομεν ἀνωτέρω[4], τὸ ἐπώνυμον Γλαβᾶς, ἀλλ' ἐπειδὴ ὁ χρόνος τῆς ἀρχιερατείας τοῦ προτέρου εἶνε περίπου τὰ ἔτη 1339 καὶ 1340, ὁ δὲ Κυδώνης ἔζησεν ἀπὸ τῆς δευτέρας ἢ τρίτης δεκάδος τοῦ δεκάτου τετάρτου αἰῶνος μέχρι τοῦ τέλους αὐτοῦ[5], εἶνε προφανὲς, ὅτι ὁ Θεσσαλονίκης Γλαβᾶς, εἰς ὃν ἀπευθύνονται αἱ δύο ἐπιστολαὶ τοῦ Κυδώνη, δὲν εἶνε δυνα-

[1] Anecdota nova. Ἐν Παρισίοις 1884 σ. 270 κ. ἑ.

[2] Πρβλ. *Jorio* L'epistolario di Demetrio Cidone ἐν τοῖς Studi Italiani di filologia classica Τόμ. Δ' σ. 257 κ. ἑ.

[3] Auctarium bibliothecae patrum graecorum Τόμ. Β' σ. 1263.

[4] Ἴδε ἀνωτέρω σ. 344 σημ. 1.

[5] *Krumbacher* Geschichte der byzantinischen Litteraturgeschichte σ. 487. ἑλλ. μεταφρ. **Σωτηριάδου** Τόμ. Β' σ. 157.

ΙΩΑΝΝΙΝΑ 2006

τὸν νὰ εἶνε ὁ πρῶτος, ἀλλ' ὁ Ἰσίδωρος. Ἄλλως δὲ ῥητῶς ὀνομάζεται ὁ Ἰσίδωρος ἐν τῷ Παρισιακῷ κώδικι τῆς πρώτης ἐπιστολῆς.

Ἔχουσι δ' αἱ εἰρημέναι ἐπιστολαὶ ὧδε·

***Τῷ ἁγιωτάτῳ μητροπολίτῃ Θεσσαλονίκης***

***Ἰσιδώρῳ τῷ Γλαβᾷ.***

Ἤκουσα φίλων ἀπαγγελλόντων, ὅτι δὴ πολλὰ παρὰ πολλοῖς τῶν συνόντων ἐγκώμια λέγεις ἐμοῦ, λόγους τε ἐπαινῶν τοὺς ἐμοὺς καὶ τὴν πρὸς πάντας τοὺς ὁμιλοῦντάς μοι γνώμην ὡς δὴ μετ' ἐπιεικείας γινομένην ἀποδεχόμενος καὶ ἄλλα δὲ πολλὰ χαριζόμενος, ἐμοὶ μὲν ὀλίγον προςήκοντα, ἱκανὰ δὲ δόξαν μεγάλην προςθεῖναι παρὰ τοῖς ἀκούουσιν ἀνδρὶ φιλοτίμῳ. Ταῦτα μὲν οὖν ἡδέα καὶ προςήκοντα φίλοις ἔφασκον λέγειν σε· τούτοις δέ σε συνάπτειν ἰσχυρίζοντο καί τινα ἄλλα, οὐ πάνυ τοι τοῖς πρότερον εἰρημένοις συμβαίνοντα, δυνάμενα δὲ δάκνειν καὶ τὸν πάνυ φιλοσοφεῖν ἐγνωκότα. Μετὰ γάρ τούς πολλοὺς ἐπαίνους ἐκείνους ἔλεγον τοῖς παντελῶς ἀναισθήτοις οὐκ ὀκνῆσαί σε τὸν ἐπαινούμενον παρεικάζειν. Εἶναι γάρ με λέγειν τοῖς ἐν σκότῳ πλανωμένοις παρόμοιον, οἳ πρὸ ποδῶν ὄντα τὸν κρημνὸν οὐχ ὁρῶσιν, ἀλλ' ἐπείγονται πρὸς τὸ βάραθρον, καὶ ὃ χεῖρον ἐν τοῖς τοιούτοις καὶ ψυχῆς ἄγαν ἐξεστηκυίας, ὅτι, καίτοι ῥᾷστον ὂν ἐπανάγειν καὶ τὴν εὐθεῖαν ἰέναι πειθόμενον τοῖς ἀσφαλῶς δυναμένοις ἡγεῖσθαι, αὐτὸς ἀμελοίην καὶ ὅπως μόνον μὴ δόξαιμι παρ' ἄλλων διδάσκεσθαι εἰς ὄλεθρον ἐπίτηδες τὴν ἐμαυτοῦ προδιδοίην ψυχήν.

Ταῦτ' ἔλεγον ἐκεῖνοι καὶ προςετίθεσαν ὡς οὐδὲ τὰ πρότερον ἐπαίνους ἁπλῶς νομιστέον, εἶναι δὲ τέχνην τοῦ ῥᾷον τὰς μετὰ ταῦτα μέμψεις παραδεχθῆναι. Ὥςπερ γὰρ ὁ τὰ πάντα ψέγων ἁπλῶς ὑποπτεύεσθαι δίκαιος, ὡς δὴ μίσει πρὸς τὴν κατηγορίαν κινούμενος, οὕτως ὁ διαιρῶν καὶ τὰ μὲν ἐγκωμιάζων, τοῖς δ' ἐπιτιμᾶν ἀξιῶν μετ' ἀληθείας τοῖς τε ἐπαίνοις καὶ τοῖς ἐλέγχοις χρῆσθαι δοκεῖ.

Ἐπιγραφή· *Τῷ ἁγιωτάτῳ — γλαβᾷ* Π : *Τῷ θεσσαλονίκης — γλαβᾷ* Λ
7. *δέ σε* Π : *δὲ* Λ 8. *τοι* Λ : *τε* Π 9-10. *ὀκνῆσαί* Π : *ὀκνῆσαι* Λ
15. *ἰέναι* Π : *ἀνιέναι* Λ 22. *μετ'* Π : *μετὰ* Λ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ταῦτα μὲν τὰ παρ᾽ ἐκείνων· ἐμὲ δὲ καὶ ὁ τρόπος καὶ οἱ λόγοι καὶ τἄλλα τῶν πλεονεκτημάτων οἷς τὴν ἱερωσύνην κοσμεῖς καὶ πρὸ πάντων τὸ μηδὲν ἀηδὲς ἐμαυτῷ μέχρι νῦν συνειδέναι ἔπειθον μὴ σφόδρα πιστεύειν τοῖς ὡς ἀπορρίψειάς τι ῥῆμα κατ᾽ ἐμοῦ σκαιὸν διατεινομένοις. Ὅθεν καὶ πλάσμα καὶ ἀνδρῶν φίλους πειρωμένων ταράττειν τοὺς ἐκείνων λόγους ἀπεφαινόμην. Ὡς δὲ ἐνέκειτο, καὶ μάρτυσιν ἦσαν ἕτοιμοι τὰ προσηγγελμένα πιστοῦσθαι, τότ᾽ ἤδη ἐκείνοις μὲν, οὕτω προθυμουμένοις, ἀπιστεῖν ἀναίσχυντον ᾤμην, αὐτὸς δὲ οὐδὲν ἧττον τὴν ἐξ ἀρχῆς περὶ σὲ γνώμην ἠξίουν τηρεῖν, ἐοικέναι λέγων τὰς μέμψεις ταῖς τῶν πατέρων ἢ παιδευτῶν νουθεσίαις, ἃς ἁπλῶς μὲν οὕτως ἀκουομένας ὕβρεις ἄν τις καὶ λοιδορίας καλέσειεν, ἴσως δ᾽ ἂν τοὺς εἰπόντας καὶ ἐχθροὺς οἰηθείη καὶ δίκην τῆς δοκούσης τραχύτητος ἀπαιτήσειεν, ὁ δὲ τὴν τῶν λεγόντων ἐπιστάμενος γνώμην καὶ ἐπαινέσεται καὶ ἥντιν᾽ αὐτοῖς τῶν σκωμμάτων ἐκείνων ἀμοιβὴν ἀποδοίη ζητήσει. Ταῦτα δύνασθαι καὶ τὰς πρὸς ἐμὲ τοῦ θαυμαστοῦ Θεσσαλονίκης ἀπεφαινόμην. Εἶναι γὰρ ταύτας πατρός τε καὶ διδασκάλου, οὓς ὁρῶμεν μέμψεσι μᾶλλον ἢ ἐπαίνοις τοὺς υἱεῖς ἢ τοὺς μαθητὰς ὠφελεῖν πειρωμένους. Αὐτός τε οὖν οὕτως ἠξίουν φρονεῖν κἀκείνους πείθειν ἐπεχείρουν μὴ λίαν ἄχθεσθαι τοῖς καθ᾽ ἡμῶν εἰρῆσθαι δοκοῦσιν, ἀλλ᾽ οἴεσθαι κἀκείνων οὐ τὸ τυχὸν ὄφελος εἶναι.

Ἐκείνους μὲν οὖν, εἴτε πιθανὸς ἔδοξα ταῦτα λέγων, εἴτε καὶ τοῖς ἐξ ἀρχῆς δόξασιν αὐτοῖς ἐμμείναντες ἀπηλλάττοντο, λέγειν οὐκ ἔχω. Αὐτὸς δὲ τῶν μὲν προτέρων ἐπαίνων πολλὴν οἶδά σοι χάριν καὶ πειράσομαί σε λοιπὸν τοῖς ὁμοίοις ἀμείβεσθαι, εἰ καὶ ἀληθὲς ὡς ἔφθην αὐτὸς πρὶν πρὸς τοὺς ὑπὲρ ἐμοῦ λόγους σε κινηθῆναι, πολλοὺς διδάξας τὴν σὴν ἀρετὴν καὶ πείσας μέγα νομίζειν τὸ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ καὶ τῷ κοινῷ παρὰ τῶν σῶν λόγων προσγενόμενον κέρδος. Ἃ δ᾽ ὕστερον εἰπὼν ἔδοξας δάκνειν, καὶ ταῦθ᾽, ὅπερ ἔφην, τέχνην εἶναι νομίζων τοῖς ὀνείδεσι πρὸς τὸ συμφέρον ἕλκειν με βουλομένου, καὶ ὑπὲρ αὐτῶν τὴν αὐτὴν ἣν ὑπὲρ τῶν ἐπαίνων οἴομαί σοι χάριν ὀφείλειν. Ἐκεῖνο μέντοι σε βουλοίμην ἂν περὶ ἐμοῦ βεβαίως πεπεῖσθαι, ὡς, εἴ ποτέ μου λέγοντος ἢ φρονοῦντος ἐναντία τοῖς ἀληθέσιν ἀκούοις, οὐκ ἐπίτηδες κακουργεῖν βουλόμενος τοῦτο ποιῶ, ἀλλ᾽ ἀγνοίᾳ μοι τοῦτα

2. *τἄλλα* ΠΛ  3. *ἀηδὲς — νῦν* Λ : *ἐμαυτῷ μέχρι νῦν ἀηδὲς* Π  9 (*καὶ κατωτέρω*). *ἐξ ἀρχῆς* Π : *ἐξαρχῆς* Λ  14. *τῶν σκωμμάτων ἐκείνων ἀμοιβὴν* Λ : *ἀμοιβὴν τῶν σκωμμάτων ἐκείνων* Π  15. *καὶ τὰς* Λ : *λείπουσι* Π  21. *δόξασιν* Λ : *δοκοῦσιν* Π  27. *προσγενόμενον* Λ : *προσγινόμενον* Π

συμβαίνει, οὕτω μοι τῆς διανοίας ἐχούσης πρὸς τὴν ἀλήθειαν, ὥσπερ τοὺς τῆς νυκτερίδος ὀφθαλμοὺς ἔφη τις πρὸς τὸν ἥλιον. Τίς γὰρ οὕτω δυστυχὴς ὡς ἢ καθ' αὑτὸ τὸ ψευδοδοξεῖν προτιμᾶν ἢ τἀληθὲς εἰδὼς ἑκὼν πρὸς ἑαυτὸν σχίζεσθαι καὶ λόγους προφέρειν τοῖς ἔνδον λογισμοῖς πολεμοῦντας καὶ τούτοις οὐχ ἑαυτὸν μόνον βλάπτειν, ἀλλὰ καὶ τοὺς πειθομένους προσδιαφθείρειν τό τε καταποντίζεσθαι καὶ τὸν ὀνικὸν μύλον εἰκῇ καὶ μάτην ἐξαρτᾶν τοῦ τραχήλου, καὶ ταῦτ' ἐν οἷς ἀνάγκη περὶ τῆς ἱερᾶς διαλέγεσθαι πίστεως; Ἣν ὥσπερ καρδίᾳ πιστεύειν πρὸς δικαιοσύνην, οὕτω δὴ καὶ στόματι πρὸς σωτηρίαν ὁμολογεῖν πᾶσα ἀνάγκη καὶ ἧς ἄνευ θεῷ ἀρέσαι ἀμήχανον ὁ τῆς πίστεως καὶ τῶν ἐθνῶν διδάσκαλος ἀποφαίνεται. Ἀλλὰ μὴν οὐδ' ἔστιν ὅστις ἂν ἴσως φιλονεικῶν λέγειν ἀναισχυντήσειεν, ὡς ἄρα ἔστιν οὗ στοχαζόμενος καὶ ἐμαυτῷ τοῦτο πράττων παρὰ τοὺς ἔνδον λογισμοὺς λέγειν αἱροῦμαι. Τί γὰρ ἂν εἴη ἐκεῖνο· λέγειν γὰρ αὐτὸ δίκαιον· εἴ τις μὴ τοῦ ληρεῖν ἁπλῶς ὥσπερ γέρως ἐπιθυμεῖ; Χρήμασι τυχεῖν ἐρεῖ με πρὸς ψευδολογίαν κινεῖσθαι; Καὶ ποία περὶ τὴν ἀλήθειαν νῦν σπουδή, καὶ τίνες οἱ νῦν ταύτης ἀλλήλοις ἀμφισβητοῦντες, ἵνα τις τοῖς ἑτέροις τῶν ἀντιλεγόντων προσθέμενος ἐλπίσῃ τι παρ' αὐτῶν κέρδος οἴσεσθαι;

Ὁρᾷς δὲ καὶ αὐτὸς ὡς Ῥωμαίοις πλείων τῶν ἐπ' ἀγορᾶς λαχάνων ἢ τῶν ὑψηλῶν θεωρημάτων φροντίς. Καὶ μήν, εἰ καὶ αὐτὸς οὕτως ἦν ἄθλιος, ὡς ἀξιοῦν ὑπὲρ ὀβολῶν πάντα λέγειν, τί ἂν παρὰ τῶν πενήτων λήψεσθαι προσεδόκησα καὶ οἷς τῶν σωμάτων πλέον οὐδὲν λείπεται διὰ τὴν τῶν Τούρκων πλεονεξίαν; Εἰ δὲ καὶ πολλοὶ καὶ πολλὰ νῦν ἦσαν οἱ δώσοντες, αὐτὸς οὐκ ἂν ὑπέμεινα καὶ θεῷ προσκρούειν καὶ ἐμαυτὸν αἰσχύνειν κατὰ τῆς ἀληθείας λαμβάνων, ὅς γε καὶ τοῖς ὀφείλουσιν, ἀποστερεῖν βουλομένοις, οὐκ ἐνοχλῶ. Ἀλλ' οὐδ' ὑπὲρ τῆς εἰς ἑτέρους χάριτος φήσει μέ τις νοῦν ἔχων ἑλέσθαι καινολογεῖν. Τοὐναντίον γὰρ μᾶλλον χαρίζεσθαι προαιρούμενον οἷς νῦν λέγω τἀναντία παρ' ἡμῖν δημηγοροῦντα λέγειν ἐχρῆν καὶ τοῖς ἀρέσκουσι τόν τε δῆμον καὶ ὑμᾶς κολακεύειν, ὧν οὐκ ἐπαίνους μόνον, ἀλλὰ καὶ μισθοὺς ἂν πολλοὺς παρ' ὑμῶν ἠνεγκάμην, τά τε ἄλλα τιμώντων κἀν ταῖς ἀρχαιρεσίαις πρὸ πολλῶν ἐμοὶ τιθεμένων. Νῦν δὲ ὁρᾷς ὡς πολλῶν μέν με βλασφημιῶν ἀνάγκη, πολλῶν δὲ ὀνειδῶν, πολλῶν δὲ καὶ κινδύνων ἀνέχεσθαι, μὴ τολμῶντα συνηγορεῖν τοῖς δημοσίᾳ κηρυττομένοις καὶ

3. αὐτὸ Λ : *ἑαυτὸ* Π 6. τό τε Λ : *τότε* Π 7. *μύλον* Λ : *μῦλον* Π 9. *πρὸς δικ.* Λ : *εἰς δικ.* Π 11. ἀποφαίνεται Λ : *ἀπεφήνατο* Π 12. *ἔστιν* Π : *ἐστὶν* Λ 17. *τίς* ΛΠ 18. *τί* ΛΠ 27. *καινολογεῖν* Λ : *κενολογεῖν* Π

ΙΩΑΝΝΙΝΑ 2006

οἷς ὑμᾶς οἶδα χαίροντας· ἀλλ᾽ οὐδ᾽ ὃ λοιπὸν δέει τινῶν ἀντὶ τείχους ὑφίσταμαι τὸ ψευδολογεῖν. Σὺν θεῷ γὰρ φάναι οὔτ᾽ ἔστιν ὃν δέδοικα, εἴτε, κἂν δεδοικέναι ἐχρῆν, τοὺς τῶν ἐναντίων προϊσταμένους καὶ τὰς κατὰ τῶν ἀθώων ἀρὰς ἔδεισα ἄν, αἳ καὶ θεοῦ καὶ πυρὸς καὶ ὕδατος καὶ τῶν κοινῶν συλλόγων τοὺς οὐδὲν ἀδικοῦντας πειρῶνται χωρίζειν. Εἰ δὲ καὶ σκιά μοι τὰ παρ᾽ ἐκείνων, πόθεν ἄλλοθεν ὁ φόβος ὁ πρὸς τούτους με τοὺς λόγους ὠθῶν ;

Οὕτως οὐδὲν τῶν εἰκῆ θρυλουμένων ἐστὶν αἰτιᾶσθαι τῆς ἐμῆς παρρησίας. Τί οὖν ἕτερον εἰ μηδὲν ὧν εἶπες αἴτιόν σοι γίνεται τῶν ἀχαρίστων τούτων λόγων, ἴσως ἐρεῖς. Ἔστι μὲν ἴσως ὅπερ ἔφην ἢ τὸ ὅλον ἄγνοια καὶ ψυχῆς οὐκ ὀξὺ βλεπούσης ἀδυναμία ἢ καί τις ἀλήθεια λανθάνουσα τοὺς πολλούς, ἥ με ταύτην ὑπὸ πολλῶν ἀδικουμένην ἐγκαταλιπεῖν οὐκ ἐᾷ. Ἢ καὶ πειθόμενος οὐ ῥᾳδίως τοῖς σοφίσμασιν εἴκω, ὅτι μηδ᾽ ὅσιον, ἀληθείας ὑβριζομένης, παρόντα καὶ δυνάμενον ἀμύντην ὑφίεσθαι.

Εἰ μὲν οὖν ἀληθείας φροντὶς καὶ τοῦ ταύτης στερήσεσθαι δέος ἐμοὶ τῆς δοκούσης ταύτης θρασύτητος αἴτιον, ἐγὼ μὲν οὐκ ἀπειλὰς καὶ λοιδορίας καὶ τἄλλ᾽ ὧν καθ᾽ ἡμέραν πειρῶμαι δίκαιος ἂν εἶναι φαίην τῆς ὑπὲρ τῆς ἀληθείας παρρησίας ἀντιλαμβάνειν, ἄλλοι δ᾽ ἂν ἴσως εἴποιεν καὶ στέφανον ὑπὲρ ταύτης ὀφείλεσθαί μοι, ὃν ὁ θεὸς καὶ δέδωκε καὶ δώσειν ὑπισχνεῖται τοῖς ὑπὲρ τῆς ἀληθείας οὐ τὰ ὅπλα μόνον, ὥςπερ ὑπὲρ πατρίδος, ἀλλὰ καὶ τὴν ψυχὴν αὐτὴν τιθεμένοις. Εἰ δ᾽ εἰς τὴν τῆς ἀληθείας μόνον ἄγνοιαν τὴν ἐμήν τις ἀντιλογίαν ἀνοίσοι· τοῦτο γὰρ καὶ μᾶλλον ἐρεῖν οἶμαι τόν γε ἐπιεικέστερον καὶ τῶν ἐμῶν τρόπων πεπειραμένον ὡς οὐ δύςερίς τις εἴην καὶ τῷ συνειδότι μαχόμενος· τί λοιπὸν ἢ τοὺς σοφοὺς ὑμᾶς καὶ τὰ τῶν ψυχῶν νοσήματα πεπιστευμένους δύνασθαι θεραπεύειν καὶ τὴν ἐμὴν εἴτε ἄγνοιαν εἴτε ἀμαθίαν πειρᾶσθαι φιλανθρώπως ἰᾶσθαι ;

Ἐγὼ τοίνυν, τοὺς ἄλλους παραδραμών, ὅσους καὶ αὐτός μοι προὐξένεις καὶ ὅσοι σφᾶς αὐτοὺς ὁδηγοὺς τῶν τυφλῶν καὶ πλανωμένων χειροτονοῦσιν, σοὶ καὶ τῇ σῇ τέχνῃ ἑλοίμην ἂν ἐμαυτὸν ὑποθεῖναι. πολλήν σοι συνειδὼς περὶ τὴν τῶν ψυχῶν ἰατρείαν καὶ σοφίᾳ καὶ ἀρετῇ καὶ λόγοις ἐμπειρίαν συνειλεγμένην. Ἀφεὶς τοίνυν τῶν ἐμῶν τὰ μὲν ἐπαινεῖν, τοῖς δὲ μέμφεσθαι, ὅλος ἐπὶ τὴν τῶν οὐχ ὡς δεῖ

8. *θρυλλουμένων* ΛΠ 14. *μήδ᾽* Π : *μὴδ᾽* Λ 18. *τ᾽ ἄλλ᾽* ΛΠ *καθ᾽ ἡμέραν* Π : *καθημέραν* Λ 23. *ἐμήν τις* Λ : λείπουσι Λ 29-30. *προυξένεις* ΛΠ 34. *ὅλος* Λ : *ὅλως* Π

Ε.Υ.Δ τμ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

παρ᾽ ἐμοῦ πραττομένων ἢ λεγομένων ἐπιμέλειαν τρέπου, καὶ μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν· εὐεργεσία δὲ, εἴ μοι τὴν ψυχὴν ἀμαθίας ἀκουσίου καθαίροις. Ἐγὼ δέ σοι πρὸς πάνθ᾽ ὑπακούσομαι καὶ τῇ καθάρσει τὴν ψυχὴν ὑποθήσω, εἰ καὶ δέοι με μετ᾽ ἀλγηδόνος καθαίρεσθαι, μηδ᾽ οὕτως ἀποπηδῶν, ἀλλὰ καὶ χάριν σοι τῆς ὀδύνης ταύτης εἰδώς. Μόνον ἡγοῦ καὶ τῆς διαλέξεως ἅπτου, ἐγὼ δ᾽ ἕψομαι, κἂν ἐπὶ Γάδειρα πλεῖν καὶ Φᾶσιν διανοῇ. Οὐ γάρ ἐστιν ὅ τι ἂν μεῖζον ἐν τῷ βίῳ κερδάναιμι ἢ ψευδοδοξίας καὶ ἀμαθίας ἀπαλλαττόμενος. Πλὴν ἵνα καὶ τὴν ἐμὴν ἕξιν εἰδῇς καὶ ὅθεν αὐτῇ τὰ πείθοντα προςοιστέον· δεῖ γὰρ τὸν ἰατρὸν ὥςπερ χώρας καὶ ὥρας, οὕτω καὶ τῆς τῶν καμνόντων στοχάζεσθαι φύσεως, ἵνα ῥᾶον αὐτῷ καὶ προςηνέστερον τὰ περὶ τὴν θεραπείαν ἀνύηται· ἴσθι μόναις με ταῖς τῶν ἱερῶν Γραφῶν μαρτυρίαις καὶ ταῖς ἁγίων πατέρων γνώμαις, ἔτι γε μὴν καὶ ταῖς κοινοτάταις ἐννοίαις περὶ θεοῦ πεισθησόμενον, αἰδῶ δὲ καὶ ἀξιώσεις καὶ ὑπαναστάσεις καὶ χάριτας, ἃ πολλοῖς τῶν προεχόντων καὶ σεμνοτέρων ὀφείλεται παρ᾽ ἡμῶν, ἄλλοις με τηρήσοντα καιροῖς καὶ ἄλλοις ζητήμασι. Τὸ δὲ νῦν ἃ μόνον εἶπον φοβηθήσομαι ἢ αἰδεσθήσομαι. Ὥςτε καὶ αὐτὸς ἄν, ἐπιτάττειν ἀφεὶς ἢ καὶ χάριν ὑπέρ τινος ὧν πείθεις αἰτεῖν, ἀφ᾽ ὧν μόνον εἶπον ὁρμώμενος διδάσκειν ἐπιχειρῇς καὶ τὰ φάρμακά μοι κατασκευάζειν, θᾶττον ὄψει με τὴν νόσον ἐκδύντα καὶ μετὰ σοῦ ἐμαυτόν τε καὶ τὰς πρότερον δόξας ἐλαύνοντα καὶ πρὸς τὴν νίκην σοι συναγωνιζόμενον. Ἂν δὲ μὴ τὴν παρὰ τούτων πειθὼ τοῖς λόγοις καταμιγνύῃς, ἀλλ᾽ ἐπὶ τοὺς τοῦ δήμου πατέρας καὶ τὸν δεῖνα καὶ τὴν πεῖραν καὶ τὰς αἰσθήσεις με πέμπῃς, τούτοις ἁλώσιμα γίνεσθαι τὰ νοητὰ βιαζόμενος, οὐκ ἀποδεικνύντος, ἐπιτάττοντος δὲ μᾶλλον ἢ καὶ χάριν αἰτοῦντος τοὺς ἀκούοντας εἶναι φήσω ταύτην τὴν διδαχήν· ἣν τῆς μὲν ἐπινοίας θαυμάσομαι καὶ τῆς οὕτως ἐπὶ τὰ θεῖα ῥᾴστης ὁδοῦ, ζητήσω δὲ ἄλλους καὶ παρ᾽ ἄλλων λόγους τούτων πιθανωτέρους, καὶ ἴσως ἡγουμένου θεοῦ τοιούτους εὑρήσω. Κοινὴ γὰρ δόξα τὸ τῆς ἀληθείας πνεῦμα πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν πᾶσι τοῖς αὐτὴν εὐλαβῶς ζητοῦσι συναγωνίζεσθαι.

1. *πραττομένων ἢ λεγομένων* Λ : *λεγομένων ἢ πραττομένων* Π 5. *μηδ᾽* Π: *Γρ. μηδ᾽ οὐδ᾽* Λ 6. *ἐπὶ* Λ : *ἐπὶ τὰ* Π 7. Μετὰ τὸ ἂν ἔπεται *μοι διαγεγραμμένον* Λ 14. *αἰδῶ* Π : *αἰδώ* Λ 16. *ἡμῶν* Π : *ὑμῶν* Λ 17. *τὸ δὲ νῦν* Λ : *τοδενῦν* Π 18. *ὑπέρ τινος* Π : *ὑπὲρ* Λ 21. *δόξας* Π : *δόξεις* Λ 22. *πειθὼ* Λ : *πειθῶ* Π 24. *πέμπῃς* Boissonade : *πέμπεις* ΛΠ 26. *αἰτοῦντος* Π : *αἰτοῦντας* Λ 27. *ἐπινοίας* Π : *ἐπιννοίας* Λ 31. *ζητοῦσι* Λ : *ζητοῦσιν* Π

Ε.Υ.Δ την Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΚΕΝΤΡΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

## Τῷ αὐτῷ.

Τοῦτ' ἂν εἴη χρύσεα χαλκείων ἀλλάττεσθαι, τὸ φαῦλα καὶ ταπεινὰ πέμποντας γράμματα καλὰς δέχεσθαι καὶ γενναίας ἐπιστολάς. Οὕτω χρυσαῖ τινες ἦσαν ἄντικρυς ἃς ἐπέστειλας καὶ πολλῷ τῷ τε τῆς φύσεως τῷ τε τῆς τέχνης λάμπουσαι κάλλει, καίτοι σύ γε τὴν ἐμὴν· ἐπῄνεις καὶ αὐτός τε ἡσθῆναι καὶ ἄλλους τοῦτο παθεῖν ὑπὸ τῆς ἀναγνώσεως ἔλεγες. Ἀλλ' οὐκ ἔλαθές οὐχ ἧττον ῥητορεύειν ἢ φιλεῖν ἐπιστάμενος· ἔδειξας δὲ τὴν μὲν τέχνην τῷ σὺν ὥρᾳ δύνασθαι λέγειν, τὴν δὲ γνώμην τῷ τοῖς ἐπαίνοις τὰ τῶν φίλων ἁμαρτήματα βούλεσθαι συσκιάζειν. Διὰ τοῦτο τοιούτους ἐπαίνους τῶν ἡμετέρων λόγων κατέχεας, οἳ πᾶσαν ἀπέκναισαν τὴν ἀττικὴν ἀκοὴν ἀηδίᾳ. Εἰ δὲ μὴ χαριζόμενός, ἀλλὰ καλοὺς εἶναι τῷ ὄντι πειθόμενος φήσεις ἐκείνους ἐγκωμιάζειν καὶ σὲ πιστευτέον ὅπερ φῂς ὑπ' αὐτῶν κεκινῆσθαι, ἔτι σε μᾶλλον τῆς φιλίας θαυμάζω, ὅτι δὴ τοσοῦτον κατέχῃ τῷ πάθει, ὥςθ' ὑπ' αὐτοῦ πρὸς τὰ τῶν φίλων λευκή τις γίγνεται στάθμη. Ἀλλ' ἡμεῖς, εἰ καὶ περὶ μηδὲν ἄλλο τὴν σὴν ἐπιστήμην ἀπατᾶσθαι βουλόμεθα, τὰ γοῦν ἡμέτερα σεμνότερά σοι δοκεῖν καὶ τῶν ὄντων βουλόμεθα, οὐχ ἵνα τοὺς ἄλλους ὑπὸ τῆς ψευδοῦς ἐφελκώμεθα δόξης, ἀλλ' ἵνα μὴ δόξαντες ὅπερ ἐσμὲν ἀνασοβήσωμεν τὸν ἑταῖρον καὶ φιλίαν ἀπολέσωμεν, ἥν, ἂν τὰ δίκαια ποιῶμεν, παντὸς κέρδους μᾶλλον προςήκει διώκειν. Εὔφραινε τοίνυν σὺ μὲν ἀληθεῖ κάλλει γραμμάτων, ἡμεῖς δὲ, εἴ σοι φίλον, ἀμειψόμεθα ταῖς σκιαῖς.

Ὡς συνήθως ἄλλαι ἐπιστολαὶ τῶν βυζαντιακῶν χρόνων, οὕτω καὶ αἱ τοῦ Ἰσιδώρου δὲν φαίνονται ἐκ πρώτης ὄψεως ἔχουσαι σημασίαν ἱστορικὴν ἐν τῇ καθ' ἑαυτὰς ἐξετάσει αὐτῶν, παρουσιάζουσι δὲ μόνον ἐνδιαφέρον λογοτεχνικόν. Ὑπὸ τοιαύτην δ' ἔποψιν ἐξεταζόμενος ὁ Ἰσίδωρος ὡς ἐπιστολογράφος ἔχει μὲν πάντως ὀρθοέπειαν καὶ γλαφυρίαν οὐ τὴν τυχοῦσαν, ἐμφαίνουσαν οὐ μικρὰν γνῶσιν τοῦ *ἀρχαίου* Ἕλληνος λόγου, ἀλλ' ἡ τοιαύτη αὐτοῦ ἀρχαιομάθεια, ἣν ἄλλως ἀρέσκεται γεραίρων

7. *τὸ* 9. *διατοῦτο* 11. *τωόντι*

Ε.Υ.Δ της Κ.Τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ παρὰ τοῖς ἀττικίζουσι τῶν εἰς αὐτὸν ἐπιστελλόντων, δὲν προβαίνει ὡς παρ' ἄλλοις Βυζαντίνοις λογίοις μέχρι παραθέσεως ἀρχαίων χωρίων. Ἀπ' ἐναντίας αἱ παραπομπαὶ αὐτοῦ περιορίζονται εἰς χωρία τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης καὶ τῶν πατέρων τῆς ἐκκλησίας. Μεταξὺ δὲ τούτων καὶ ῥητὸν τοῦ ἀποστόλου Παύλου, περιελθὸν μεταβεβλημένον εἰς κοινὴν λαϊκὴν παροιμίαν παρὰ τοῖς Βυζαντίνοις[1]. Ἅπαξ δὲ μόνον ἀναφέρεται ῥητὸν ἀρχαῖον, τὸ ἐν σ. 375, 8, *Τῆς μὲν ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ, τοῦ δὲ σώματος ὡς στρατιώτου προνοοῦ*.

Χάριν δ' ἱστορικῆς χρησιμοποιήσεως τῶν ἐκδεδομένων ἀνωτέρω ἐπιστολῶν ἐξεταστέον πρῶτον τὸν χρόνον καθ' ὃν αὗται ἐγράφησαν. Οὗτος δὲν μνημονεύεται ῥητῶς, ἓν δὲ καὶ μόνον ἔχομεν τεκμήριον, τὴν ἐν τέλει τῆς ἑβδόμης ἐπιστολῆς *ἰνδικτιῶνα ἐνάτην*[2]. Ἀλλὰ πόσαι καὶ τίνες εἶνε αἱ ἔναται ἰνδικτιῶνες ἐν τῇ ἀρχιερατείᾳ τοῦ Ἰσιδώρου; Ὅπως ὁρισθῇ τοῦτο, ἔπρεπε νὰ γινώσκωμεν ἀκριβῶς ὅλον τὸν χρόνον καθ' ὃν ὁ Ἰσίδωρος ὑπῆρξε μητροπολίτης Θεσσαλονίκης. Ἀλλὰ τοῦτο μόνον μέχρι τινὸς δύναται νὰ γείνῃ. Καὶ δή, ἀγνοουμένου τοῦ ἔτους καθ' ὃ τὸ πρῶτον κατέλαβε τὸν μητροπολιτικὸν θρόνον, πρώτην βεβαίαν μνείαν αὐτοῦ ὡς μητροπολίτου εὑρίσκομεν τὸν Ἰούνιον 1380[3], ὅτε βλέπομεν αὐτὸν μετέχοντα τῆς ἐν Κωνσταντινουπόλει ἱερᾶς συνόδου. Καὶ ἐγράφη μέν, ὅτι παρουσιάζεται ἤδη

[1] *Οὔτε γάρ φησι τοῦ θέλοντος οὔτε τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ.* Ἴδε ἀνωτέρω σ. 384, 1. Παρὰ τῷ ἀποστόλῳ Παύλῳ (Πρὸς Ῥωμαίους Θ' 16) φέρεται οὕτως· *Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ.* Συμφώνως πρὸς τὴν παρὰ τοῦ συναδέλφου κ. Ν. Γ. Πολίτου δοθεῖσάν μοι εἴδησιν, παρὰ τῷ **Γεωργίῳ Ἀκροπολίτῃ** (ἐκδ. Βόννης σ. 83) καὶ τῷ **Νικηφόρῳ Γρηγορᾷ** (ἐκδ. Βόννης σ. 540 Β) ἐπαναλαμβάνεται μὲ μεταβολὴν τοῦ *ἐλεοῦντος* εἰς *εὐδοκοῦντος*. Ὡς βυζαντιακὴν δὲ παροιμίαν ἴδε μετὰ διαφόρων παραλλαγῶν παρὰ *Krumbacher* Mittelgriechische Sprichwörter. Ἐν Μονάχῳ. 1893 σ. 98 ἀρ. 33, σ. 123 ἀρ. 66, σ. 193 καὶ παρὰ **Ν. Γ. Πολίτῃ** Παροιμίαι Τόμ. Α' σ. 46 ἀρ. 46, σ. 59 ἀρ. 19.

[2] Ἴδε ἀνωτέρω σ. 386, 27.

[3] *Miklosich* καὶ *Müller* Acta et diplomata Τόμ. Β', σ. 8, 10, 17, 19.

ΕΡΓΑΣΤΗΡΙΟ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΗΤΙΚΟΥ ΠΡΟΓΡΑΜΜΑΤΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΙΤΣΑΚΗΣ
Ε.Υ. Δ/της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν Σεπτέμβριον 1379 κατέχων τὸν μητροπολιτικὸν θρόνον Θεσσαλονίκης[1], ὡς ἀπόδειξις δὲ τοῦ ἰσχυρισμοῦ τούτου φέρεται πρόσταγμα τοῦ βασιλέως Ἰωάννου Ε΄ Παλαιολόγου, δι' οὗ ἐπικυροῦται ἡ ὑπὸ τῆς μητροπόλεως Μεσημβρίας κατοχὴ μοναστηρίων τινῶν, ἐκδεδομένον *μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος γ΄*, οὗ τὸ ἀντίγραφον, *ἀντιβληθὲν καὶ εὑρεθὲν κατὰ πάντα ἐξισάζον τῷ πρωτοτύπῳ*, ὑπεγράφη καὶ ὑπὸ τοῦ Θεσσαλονίκης Ἰσιδώρου[2]. Ἀλλὰ παρατηρητέον, ὅτι δὲν δυνάμεθα νὰ εἴμεθα βέβαιοι, ἂν ὁ Ἰσίδωρος ὑπέγραψε τὸ ἀντίγραφον τοῦ βασιλικοῦ ἐκείνου χρυσοβούλλου τὸ αὐτὸ ἐκεῖνο ἔτος ἢ ἀργότερον. Οὕτω δὲ βεβαία χρονολογία τῆς ἐνάρξεως τῆς ἀρχιερατείας τοῦ Ἰσιδώρου κατὰ τὰ μέχρι τοῦδε γνωστὰ εἶνε μόνον ἡ τοῦ ἔτους 1380. Τελευταίαν δ' αὐτοῦ μνείαν ὡς ζῶντος εὑρίσκομεν τῷ 1395, ὅτ' ἐξεφώνησε τὴν ὁμιλίαν περὶ τῶν παίδων τῶν ἁρπαγέντων κατὰ κέλευσμα τοῦ Μουρὰτ τὴν περισωζομένην ἐν τῷ ὑπ' ἀρ. 1192 Παρισιακῷ κώδικι[3]. Ἐπειδὴ δὲ τὸν Μάρτιον 1397 γίνεται μνεία αὐτοῦ ὡς ἤδη θανόντος[4], ἐξάγεται, ὅτι ὁ θάνατος τοῦ Ἰσιδώρου συνέβη μεταξὺ τοῦ 1395, ὅτ' ἐξεφωνήθη ἡ περὶ ἧς ὁ λόγος ἀνωτέρω ὁμιλία, καὶ τοῦ Μαρτίου 1397[5]. Κατὰ ταῦτα μεταξὺ τοῦ 1380 καὶ τοῦ 1397 μόνη

[1] *Louis Petit* Les évêques de Thessalonique ἐν τοῖς Echos d'Orient Τόμ. Ε΄ (1901-2) σ. 94.

[2] Ἐξεδόθη ὑπὸ **Ἀθ. Παπαδοπούλου Κεραμέως** ἐν τοῖς Ἀνάλεκτοις Ἱεροσολυμιτικῆς σταχυολογίας Τόμ. Α΄ σ. 470 κ. ἑ.

[3] *Omont* Inventaire sommaire des manuscrits de la Bibliothèque Nationale. Ἐν Παρισίοις. 1898 Τόμ. Α΄ σ. 260 Πρβλ. καὶ ἀνωτέρω σ. 351.

[4] *Miklosich* καὶ *Müller* ἔνθ' ἀν. σ. 275.

[5] Ὁ σεβασμιώτατος κ. *Louis Petit* ἔνθ' ἀν. σ. 95 ἀποδέχεται, ὅτι ἡ ἐκλογὴ τοῦ Θεσσαλονίκης Γαβριήλ, διαδόχου τοῦ Ἰσιδώρου Γλαβᾶ, εἶνε ἀρχαιοτέρα τοῦ Μαΐου 1394, ὅτε βλέπομεν ἤδη τὸν Γαβριὴλ ὡς μητροπολίτην Θεσσαλονίκης μετέχοντα τῆς ἐν Κωνσταντινουπόλει συνόδου καὶ μεταβαίνοντα εἰς τὸ Ἅγιον ὄρος ὑπὸ τὴν ἰδιότητα πατριαρχικοῦ ἐξάρχου, καὶ αὐτοῦ δὲ τοῦ Ἰανουαρίου 1394, ὅτε ἡ Θεσσαλονίκη παρουσιάζεται στερουμένη μητροπολίτου ἐν τῇ παρὰ τῷ *Miklosich* καὶ *Müller* ἔνθ' ἀν. σ. 202 συνοδικῇ πράξει. Καὶ ἔχουσι μὲν ταῦτα οὕτως, ἀλλ' ἀφ' ἑτέρου εἶνε βέβαιον, ὅτι ὁ Ἰσίδωρος ἀπέθανεν ἐν Θεσσαλονίκῃ, καὶ δὴ ὡς μητροπολίτης, ὡς δεικνύει ἡ ἐπὶ τῷ θανάτῳ αὐτοῦ μονῳδία τοῦ Ἰδάγκου ἡ ἐκδο-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ. Δημ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐνάτη ἰνδικτιὼν εἶνε ἡ τοῦ 1385–1386. Οὕτως ἀποδεικνύεται, ὅτι ἡ ἑβδόμη ἐπιστολὴ ἡ σταλεῖσα εἰς τοὺς Θεσσαλονικεῖς *ἀπὸ τῆς Κωνσταντινουπόλεως* ἐγράφη τῇ 14 Σεπτεμβρίου 1385. Ἦτο λοιπὸν συνοδικὸς ἐν Κωνσταντινουπόλει ὁ Ἰσίδωρος κατ' ἐκεῖνον τὸν χρόνον καὶ πρότερον δὲ ἤδη, καθ' ἃ ἐξάγεται ἐκ τῆς πέμπτης καὶ ἕκτης ἐπιστολῆς [1], ἃς δικαιούμεθα νἀποδεχθῶμεν προγενεστέρας τῆς ἑβδόμης, λαμβάνοντες ὑπ' ὄψιν τὴν χρονολογικὴν πιθανώτατα σειρὰν τῆς ἐν τοῖς κώδιξιν ἀναγραφῆς τῶν ὀκτὼ ἐπιστολῶν. Παρεξετάθη δὲ ἡ διαμονὴ αὐτοῦ ἐν Κωνσταντινουπόλει καὶ μετὰ τὸ 1385 μέχρι τοὐλάχιστον τοῦ Μαρτίου τοῦ 1386 [2]. Μετὰ δὲ τὴν 14 Σεπτεμβρίου 1385 καὶ πάντως μῆνάς τινας μετὰ τὸν χρόνον τοῦτον, ἄρα πιθανῶς ἐντὸς τοῦ 1386, εἰ μὴ καὶ βραδύτερον, ἐγράφη ἀπὸ τῆς Κωνσταντινουπόλεως καὶ ἡ δευτέρα τῶν πρὸς τοὺς Θεσσαλονικεῖς ἐπιστολῶν τοῦ Ἰσιδώρου, ἡ ὀγδόη τῆς ὅλης σειρᾶς [3]. Περὶ δὲ τῶν ἄλλων τεσσάρων πρώτων ἐπιστολῶν δικαιούμεθα νὰ εἰκάσωμεν ἁπλῶς, ὅτι εἶνε χρονολογικῶς προγενέστεραι τῆς πέμπτης καὶ ἕκτης, καὶ ὅτι κατὰ ταῦτα ἐγράφησαν πρὸ τοῦ 1385 κατ' ἄγνωστον χρόνον μεταξὺ τοῦ 1380, λαμβανομένου ὡς ἔτους τῆς ἐνάρξεως τῆς ἀρχιερατείας τοῦ Ἰσιδώρου [4], καὶ τοῦ 1385. Ἄγνωστον δὲ ἂν αὗται εἶνε γεγραμμέναι ἐκ Θεσσαλονίκης ἢ μᾶλλον ἐκ Κωνσταντινουπόλεως, ὡς καὶ αἱ λοιπαί.

θεῖσα ὑπὸ τοῦ *Legrand* ἐκ τοῦ Λαυρεντιακοῦ Plut. 74 cod. 13 φ. 234α-244β (Lettres de l'empereur Manuel Paléologue. Ἐν Παρισίοις. 1893 σ. 105 κ.ἑ.), ἐν ᾗ γίνεται λόγος καὶ περὶ ἀγνώστων ἡμῖν ἄλλοθεν καὶ δυσερμηνεύτων κινδύνων οὓς ὑπέστη ὁ Ἰσίδωρος χάριν τῆς Θεσσαλονίκης ἐν Ἀσίᾳ. Τὸ αἴνιγμα ἴσως λυθῇ μετὰ τὴν ἔκδοσιν τῶν δύο ἐν ἔτει 1394 καὶ 1395 ἐκφωνηθεισῶν ὁμιλιῶν τοῦ Ἰσιδώρου.

1 Ἴδε ἀνωτέρω σ. 378, 20 κ. ἑ., σ. 379, 21 κ. ἑ.

2 *Miklosich* καὶ *Müller* ἔνθ' ἀν. σ. 73. Πρβλ. *Louis Petit* ἔνθ' ἀν. σ. 95.

3 Ἴδε ἀνωτέρω σ. 387 κ. ἑ.

4 Ὅτι καὶ ἡ πρώτη ἐπιστολὴ ἐγράφη ἤδη ἀρχιερατεύοντος τοῦ Ἰσιδώρου, οὐδὲ τυχὸν ἡ ἐπιγραφὴ *Ἐπιστολὴ τοῦ ἁγιωτάτου Ἰσιδώρου ἐπισκόπου Θεσσαλονίκης* ἐτέθη ὑπὸ τοῦ βιβλιογράφου βραδύτερον μετὰ τὴν ἀνάρρησιν αὐτοῦ, ἀποδεικνύεται ἐκ τῶν λεγομένων ἐν τῇ πρώτῃ ἐπιστολῇ πρὸς τὸν μητροπολίτην Σερρῶν *ἀδελφὲ καὶ συλλειτουργέ*. Ἴδε σ. 353, 3.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006